8 Μαρτίου 2014

# Άγιος Ιωάννης Χρυσόστομος:ΛΟΓΟΣ Β΄. Περί ευχής -Μέρος 2ο





Διά ταύτας μεν ουν ενταύθα απάντησον, ίνα την εύνοιαν επισπασάμενος του Θεού, δια της ενταύθα διατριβής, ούτω μετά ασφαλείας εξέλθης· ίνα έχης αυτόν σύμμαχον, ίνα ακαταγώνιστος γένη τοις δαίμοσιν, υπό της άνωθεν χειρός βοηθούμενος. Αν γαρ απολαύσης ευχών πνευματικών, αν μετάσχης ευχής κοινής, αν επισπάση του Θεού την βοήθειαν, αν αυτού τοις όπλοις φραξάμενος ούτως εξέλθης, ουδέ αυτός ο διάβολος αντιβλέψαι δυνήσεταί σοι λοιπόν, μήτι γε άνθρωποι πονηροί σπουδάζοντες επηρεάζειν και συκοφαντείν· αν δε από της οικίας επί την αγοράν έλθης, και γυμνός των όπλων τούτων ευρεθής, ευχείρωτος έση τοις επηρεάζουσιν άπασι. Και μη μοι λεγέτω τις, ως αδύνατον, άνθρωπον βιωτικόν, δικαστηρίω προσηλωμένον, συνεχώς εύχεσθαι της ημέρας, και εις εκκλησίαν εκτρέχειν· δυνατόν γαρ, και σφόδρα εύκολον. Καν γαρ εις εκκλησίαν δραμείν μη ράδιον, εστώτα εκεί προ των θυρών και τω δικαστηρίω προσηλωμένον εύξασθαι δυνατόν. Και τούτο πολλοί εποίησαν πολλάκις, και βοώντος του άρχοντος ένδοθεν, απειλούντος, διατεινομένου, μαινομένου, προ των θυρών εστώτες σφραγισάμενοι, και ολίγα ρήματα κατά διάνοιαν ευξάμενοι, εισελθόντες μετέβαλον αυτόν και επράϋναν, και ήμερον εξ αγρίου κατέστησαν· και ουδέν ούτε από του τόπου, ούτε από του καιρού, ούτε από της σιγής προς την ευχήν ταύτην ενεποδίσθησαν. Ουδέ γαρ ούτω φωνής χρεία, ως διανοίας, ουδέ εκτάσεως χειρών, ως συντεταμένης ψυχής, ουδέ σχήματος, αλλά φρονήματος. Επεί και η του Σαμουήλ μήτηρ Άννα, ουκ επειδή λαμπράν και μεγάλην αφήκε φωνήν, δια τούτο ηκούετο, αλλ’ επειδή μεγάλα ένδον μετά την καρδίαν εβόα· Η φωνή γαρ αυτής ουκ ηκούετο, φησί, και εισήκουσεν αυτής ο Θεός. Μη δη ουν προφασιζώμεθα λέγοντες, ως ουκ έστιν εύκολον εύξασθαί τινα, τοις βιωτικοίς ενασχολούμενον πράγμασι, και μηδέ 63.585 πλησίον ευκτήριον οίκον ευρίσκοντα. Όπου γαρ αν ης, δύνασαι στήσαί σου το θυσιαστήριον· ουδέν γαρ κωλύει τόπος, ουδέ εμποδίζει καιρός· αλλά καν μη γόνατα κλίνης, καν μη στήθος τύψης, και τας χείρας εις τον ουρανόν ανατείνης, διάνοιαν δε μόνον επιδείξη θερμήν, το παν απήρτισας της ευχής. Έξεστι γαρ και εις αγοράν εμβάλλοντα, και καθ’ εαυτόν βαδίζοντα, ευχάς εκτενείς ποιείσθαι· έξεστι και επ’ εργαστηρίου καθήμενον και δέρματα ράπτοντα, την ψυχήν αναθείναι προς τον Δεσπότην· έξεστι και οικέτη και ωνουμένω, και αναβαίνοντι και καταβαίνοντι, και μαγειρείω παρεστώτι, όταν μη δυνατόν εις εκκλησίαν ελθείν, ευχήν ποιείσθαι εκτενή και διεγηγερμένην. Ου γαρ επαισχύνεται τόπον ο Θεός, αλλ’ εν ζητεί μόνον, διάνοιαν θερμήν και ψυχήν σωφρονούσαν. Και γαρ ο Παύλος ουκ εν οίκω ευκτηρίω, αλλ’ ύπτιος επί του δεσμωτηρίου κείμενος, και ουκ ορθός εστώς ουδέ γόνατα κλίνων· ου γαρ ηφίει το ξύλον ω τους πόδας εδέδετο· επειδή μετά προθυμίας ηύξατο κείμενος, το δεσμωτήριον έσεισε, και τα θεμέλια διεσάλευσε, και τον δεσμοφύλακα έδησε, και προς την ιεράν μετά ταύτα μυσταγωγίαν εχειραγώγησε. Και ο Εζεκίας ουκ ορθός εστώς, ουδέ γόνατα κλίνων,

αλλ’ ύπτιος επί της κλίνης κείμενος δια την αρρωστίαν, στρέψας εαυτόν επί τον τοίχον, επειδή τον Θεόν θερμώς εκάλεσε και μετά ψυχής σωφρονούσης, και απόφασιν εξενεχθείσαν ανεκαλέσατο, και πολλήν επεσπάσατο την εύνοιαν, και προς την προτέραν επανήλθεν υγίειαν. Και ο ληστής επί του σταυρού τεταμένος, από ρημάτων ολίγων της βασιλείας των ουρανών έτυχε· και ο Ιερεμίας εν βορβόρω και λάκκω, και ο Δανιήλ εν λάκκω και θηρίοις, και ο Ιωνάς εν αυτή του κήτους τη νηδύϊ τον Θεόν παρακαλέσαντες, τα επικείμενα δεινά διέλυσαν άπαντα, και την άνωθεν εύνοιαν επεσπάσαντο. Τι τοίνυν λέγειν οφείλεις ευχόμενος; Όπερ η Χαναναία· ως γαρ εκείνη έλεγεν· Ελέησόν με, η θυγάτηρ μου κακώς δαιμονίζεται· ούτω λέγε και συ, Ελέησόν με, η ψυχή μου κακώς δαιμονίζεται. Μεγας γαρ δαίμων η αμαρτία· ο δαιμονών ελεείται· ο αμαρτάνων μισείται. Ελέησόν με. Βραχύ το ρήμα, και πέλαγος της φιλανθρωπίας· όπου γαρ έλεος, πάντα τα αγαθά. Καν έξω εκκλησίας ης, κράζε και λέγε, Ελέησόν με, ει και μη κινών τα χείλη, αλλά τη διανοία βοών· και σιωπώντων γαρ ακούει ο Θεός. Ου ζητείται τόπος, αλλ’ αρχή τρόπου. Ο Ιερεμίασεν βορβόρω ην, και τον Θεόν επεσπάσατο· και ο Ιώβ εν κοπρία ην, και τον Θεόν ίλεων κατεσκεύασεν· ο Ιωνάς εν τη κοιλία του κήτους, και τον Θεόν υπήκοον έσχε. Καν εν βαλανείω ης, εύχου· όπου εάν ης, εύχου. Ναός ει, μη ζήτει τόπον. Θαλαττα ην έμπροσθεν, όπισθεν Αιγύπτιοι, και μέσος ο Μωϋσής μηδέν λαλών· πολλή γαρ εν τη ευχή η στενοχωρία· και λέγει αυτώ ο Θεός, Τι βοάς προς με; Και συ τοίνυν όταν πειρασμός επέλθη σοι, επί τον Θεόν κατάφυγε, τον Δεσπότην κάλεσον. Μη γαρ άνθρωπός εστιν, ίνα απέλθης εις τόπον; Θεός αεί εγγύς εστιν. Έτι γαρ λαλούντός σου, ερώ· Ιδού πάρειμι. Ουδέπω τελείς την ευχήν, και αυτός την ίασιν δίδωσιν. Αν γαρ την διάνοιαν έχης καθαρεύουσαν των ατόπων παθών, καν εν αγορά ης, καν εν οδώ, καν εν δικαστηρίω παρεστώς, καν εν θαλάσση, καν εν πανδοχείω, καν επ’ εργαστη
63.586 ρίω εστηκώς, καν όπουπερ αν ης, δυνήση τον Θεόν καλέσας επιτυχείν της αιτήσεως. Τι γαρ βούλεται των χειρών η έκτασις εν τη ευχή; Πολλαίς πονηρίαις διακονούσιν αύται· και δια τούτο κελευόμεθα αυτάς ανατείνειν, ίνα η της ευχής διακονία δεσμός αυταίς γένηται της κακίας, και απαγωγή της πονηρίας· ίν’, όταν μέλλης αρπάζειν, η πλεονεκτείν, η τύπτειν έτερον, αναμνησθής ότι ταύτας μέλλεις αντί συνηγόρων προς τον Θεόν πέμπειν, και δια τούτων την θυσίαν αναφέρειν εκείνην την πνευματικήν, και μη καταισχύνης αυτάς, μηδέ απαρρησιάστους εργάση, τη διακονία της πονηράς εργασίας. Καθαιρε τοίνυν αυτάς ελεημοσύνη, φιλανθρωπία, προστασία των δεομένων, και ούτως αυτάς εις ευχήν άγε. Ει γαρ ανίπτοις αυταίς ουκ επιτρέπεις εις ευχήν, πολλώ μάλλον αμαρτήμασιν ουκ αν είης δίκαιος αυτάς μιαίνειν. Ει το έλαττον δέδοικας το ανίπτοις χερσίν εύχεσθαι, πολλώ μάλλον το μείζον φρίξον. Το γαρ μεν ανίπτοις χερσί προσεύχεσθαι ου τοσούτον άτοπον· το δε καταρρυπανθείσας αυτάς μυρίοις αμαρτήμασι προσάγειν, τούτο πολλήν φέρει την οργήν και τον όλεθρον.

Βούλει μαθείν πόση η δύναμις της ευχής της εν τη εκκλησία γινομένης; Εδέδετό ποτε ο Πετρος, και αλύσεις περιέκειτο πολλάς. Προσευχή δε ην εκτενής υπό της Εκκλησίας περί αυτού γινομένη· και ευθέως αυτόν απήλλαξε του δεσμωτηρίου. Τι τοίνυν δυνατώτερον ταύτης γένοιτ’ αν της ευχής, η τον στύλον και πύργον της Εκκλησίας ωφέλησε; Και τοις μεν κατηχουμένοις ουδέπω τούτο επιτέτραπται, επειδή ουδέπω προς την παρρησίαν έφθασαν ταύτην· υμίν δε και υπέρ της οικουμένης και υπέρ της Εκκλησίας της μέχρι των περάτων της γης εκτεταμένης, και υπέρ των διοικούντων ταύτην και επισκοπούντων, παρακελεύεται ποιείσθαι τας δεήσεις. Και υπακούετε μετά προθυμίας, έργω μαρτυρούντες, ότι μεγάλη της ευχής η δύναμίς εστι της εν Εκκλησία από του δήμου συμφώνως αναφερομένης. Ει γαρ επί ανθρώπων καταδίκους άνδρας απαγομένους εις θάνατον, δήμος προσελθών εξητήσατο, και το πλήθος δυσωπηθείς ο βασιλεύς την γνώμην ανέθετο, πολλώ μάλλον παρ’ υμών ο επουράνιος δυσωπηθείς βασιλεύς παρέξει την αίτησιν. Ουκ ηκούσατε ότι Πετρος ούτως εξηρπάγη του δεσμωτηρίου, επειδή ην ευχή εκτενής υπέρ αυτού γινομένη; Ποσω νομίζετε μείζον είναι της ημετέρας σμικρότητος το υπέρ δήμου τοσούτου προσιέναι και παρακαλείν τον Θεόν; Ει γαρ αυτός υπέρ εαυτού δεηθήναι παρρησίαν ουκ έχω, πολλώ μάλλον υπέρ ετέρων· των γαρ ευδοκιμούντων εστί τούτο. Όταν ουν και αυτός προσκεκρουκώς ω, πως υπέρ άλλου δεηθήσομαι; Ένα μεν γαρ υπέρ πολλών αξιούν, σφόδρα τολμηρόν και πολλής δεόμενον παρρησίας· πολλούς δε ομού συνελθόντας, υπέρ ενός ποιείσθαι την δέησιν, ουδέν φορτικόν φανήσεται. Εύξασθαι μεν γαρ και επί της οικίας δυνατόν· ούτω δε εύξασθαι, ως επί της εκκλησίας, αδύνατον, όπου πατέρων πλήθος τοσούτον, όπου βοή προς τον Θεόν ομοθυμαδόν αναπέμπεται. Ουχ ούτως ακούη κατά σαυτόν τον Δεσπότην παρακαλών, ως μετά των αδελφών των σων. Ενταύθα γαρ εστι το πλέον, οίον η ομόνοια και η συμφωνία, και της αγάπης ο σύνδεσμος, και αι των ιερέων ευχαί. Διά γαρ τούτο ιερείς παρεστήκασιν, ίνα αι του πλήθους ευχαί ασθενέστεραι ούσαι, των δυνατωτέρων του 63.587 των επιλαβόμεναι, ομού συνέλθωσιν αυταίς εις τον ουρανόν. Ει γαρ Πετρον ωφέλησε της Εκκλησίας η ευχή, και τον στύλον εκείνον εξέβαλε του δεσμωτηρίου· πως συ καταφρονείς της δυνάμεως αυτής, ειπέ μοι; Ώσπερ γαρ η της αγάπης δύναμις ου διείργεται διαστήματι τόπου, ούτως ουδέ η της ευχής ενέργεια· αλλ’ ώσπερ εκείνη τους αλλήλων αφεστηκότας συνδεί, ούτω και αύτη τους πόρρωθεν όντας τα μέγιστα ωφελείν δυνήσεται. Και γαρ Μωϋσής, ει και μη παρήν τω σώματι τοις πολεμούσιν, ουδέν έλαττον των πολεμούντων, αλλά και πολλώ πλέον εις την μάχην συνετέλεσεν εκείνην τη των χειρών εκτάσει τα πράγματα των οικείων επαίρων, και φοβερά τοις εναντίοις ποιών. Ουδέν γαρ κατόρθωμα σφόδρα μέγα είναι δύναιτ’ αν, όταν μη το κέρδος και εις ετέρους διαδιδώ. Καν γαρ άσιτος μένης, καν χαμαί καθεύδης, καν τέφραν εσθίης,

καν θρηνής διαπαντός, και μηδένα έτερον ωφελής, ουδέν μέγα εργάζη. Και γαρ τω Μωϋσεί πολλά και μεγάλα ειργάσθη θαύματα και σημεία· αλλ' ουδέν ούτως αυτόν μέγαν εποίησεν, ως η μακαρία εκείνη φωνή, ην προς τον Θεόν αφήκε λέγων· Ει μεν αφής αυτοίς την αμαρτίαν, άφες· ει δε μη, καμέ εξάλειψον. Και ο Δαυίδ δε το αυτό τούτο ενδεικνύμενος, έλεγεν· Εγώ ο ποιμήν ήμαρτον, και εγώ εκακοποίησα· και ούτοι το ποίμνιον τι εποίησαν; Γενέσθω η χείρ σου επ' εμέ, και επί τον οίκον του πατρός μου. Μεγάλα μεν ουν και ταύτα, και αγγελικής άξια πολιτείας· το δε του Παύλου πολλήν έχει την υπερβολήν προς ταύτα· της γαρ δόξης της μελλούσης ηύξατο εκπεσείν υπέρ της ετέρων σωτηρίας. Ο δε Ιωνάς επειδή το εαυτού συμφέρον εζήτησε, και απολέσθαι εκινδύνευσε, και η μεν πόλις ειστήκει, αυτός δε κατεποντίζετο. Μεγάλα μεν ουν και τα άλλα της του Μωϋσέως αρετής κατορθώματα· το δε κεφάλαιον και η κορωνίς της αγίας ψυχής εκείνης, ότι εξαλειφθήναι είλετο της βίβλου υπέρ της σωτηρίας των Ιουδαίων. Το δε του Παύλου εκ πολλού του περιόντος υπερηκόντισεν. Ο μεν γαρ συναπολέσθαι ετέροις ηρείτο· ούτος δε ου συναπολέσθαι, αλλ' ετέρων σωζομένων αυτός εκπεσείν ηύχετο της δόξης της απεράντου. Καλόν ουν ευχής απολαύειν της των αγίων, αλλ' όταν και αυτοί ενεργοί ώμεν· ως, αν μη τούτο προσή, ουδέ η ετέρων ονίνησι βοήθεια, αλλά και μετ' εκείνης απολλύμεθα. Τι γαρ ωφέλησεν Ιερεμίας τους Ιουδαίους; ουχί τρίτον προσήλθε τω Θεώ, και τρίτον ήκουσε, Μη προσεύχου, και μη αξίου περί του λαού τούτου, ότι ουκ εισακούσομαί σου; Τι ωφέλησε τον Σαούλ ο Σαμουήλ, μέχρις εσχάτης ημέρας ευχόμενος, και πενθών περί αυτού; Τι δαι και τους Ισραηλίτας ωφέλησεν; ουχί έλεγεν, Εμοί δε μη γένοιτο αμαρτείν διαλείποντα ευχόμενον υπέρ υμών; ουχί πάντες απώλοντο; Άκουε γαρ του Θεού λέγοντος δια του προφήτου· Εάν στη Νώε και Ιώβ και Δανιήλ, ουκ εξελούνται τους υιούς αυτών και τας θυγατέρας, επειδή υπερίσχυσεν η κακία αυτών. Τι ουν; ουδέν ωφελούσιν αι ευχαί; Ωφελούσι και μεγάλα, αλλ' όταν και ημείς συμπράττωμεν. Και ει βούλει μαθείν όσα ωφέλησαν, εννόει μοι τον Κορνήλιον, την Ταβιθά· άκουε δε και του Θεού λέγοντος· Υπερασπιώ της πόλεως ταύτης δι' εμέ και δια Δαυίδ τον παιδά μου. Αλλά πότε; επί Εζεκίου του δικαίου. Επεί ει γε ίσχυον ευχαί και επί των σφόδρα πονηρών, δια τι μη και ότε ο Ναβουχοδονόσορ ήλθεν, είπε τούτο ο Θεός, αλλ' εξ 63.588 έδωκε την πόλιν; Επειδή μείζον ίσχυσεν η πονηρία.

Και αυτός πάλιν ούτος ο Σαμουήλ ηύξατο υπέρ των Ισραηλιτών, και ήνυσεν· αλλά πότε; Ότε και αυτοί ευηρέστουν, τότε ετροπώσατο τους εχθρούς. Και τι μοι δει της παρ' ετέρων ευχής, φησίν, όταν εγώ ευαρεστώ; Τι λέγεις, άνθρωπε; Παύλος ουκ είπεν, Τι μοι δει ευχής; Πετρος ουκ είπε, Τι μοι δει ευχής· καίτοι γε των ευχομένων ουκ όντων αξίων αυτού, μάλλον δε ουδέ ίσων· και συ λέγεις, Τι μοι δει ευχής· Πετρος ουκ είπεν, Τι μοι δει ευχής; Ευχή γαρ ην, φησίν, υπό της Εκκλησίας εκτενής γενομένη προς τον Θεόν υπέρ αυτού· και ευθέως αυτόν εξείλετο των

δεσμών· και συ λέγεις, Τι μοι δει ευχής, Διά τούτό σοι δει, επειδή νομίζεις μη δείσθαι. Εάν γαρ ο Θεός εξετάση την ραθυμίαν ημών την εν ταις ευχαίς και την ολιγωρίαν, και ότε έμπροσθεν αυτού εστώτες και παρακαλούντες αυτόν, ουδέ τοσαύτην αυτώ παρέχομεν τιμήν, όσην τοις δεσπόταις οι δούλοι, όσην τοις άρχουσιν οι στρατιώται, όσην τοις φίλοις οι φίλοι· φίλω μεν γαρ διαλεγόμενος, μετά του προσέχειν τούτο ποιείς· Θεώ δε εντυγχάνων υπέρ αμαρτημάτων, υπέρ πλημμελημάτων τοσούτων συγχώρησιν αιτών, και συγγνώμην αξιών σοι γενέσθαι. ραθυμείς, και των γονάτων σου χαμαί κειμένων, πολλάκις περί την αγοράν και την οικίαν πλανάσθαι την διάνοιαν εάς, του στόματός σου ληρούντος εική και μάτην; και τούτο ουχ άπαξ ουδέ δις, αλλά και πολλάκις πάσχομεν. Εάν τούτο μόνον θελήση ο Θεός εξετάσαι, άρα έξομεν συγγνώμην; άρα δυνησόμεθα απολογίας τυχείν; Ουκ έγωγε οίμαι. Εάν δε τας περιέργους ημών όψεις ο Θεός εξετάση, και τας πονηράς επιθυμίας ας έχομεν εν διανοία, αισχρούς και ακαθάρτους δεχόμενοι λογισμούς από της ανεξετάστου των οφθαλμών πλάνης, εάν τας κακηγορίας ας καθ’ εκάστην ημέραν αλλήλοις λέγομεν κακώς, εις μέσον παραγάγη, και τας κρίσεις τας ακαίρους ας κατακρίνομεν τον πλησίον μηδέν έχοντες πράγμα, τούς τε δόλους ους κατ’ αλλήλων ράπτομεν, νυν μεν παρόντα επαινούντες τον αδελφόν, και ως φίλω διαλεγόμενοι, απόντα δε κατηγορούντες· άρα ουχ υποστησόμεθα τας υπέρ τούτων ευθύνας; Τι δε την βασκανίαν ην βασκαίνομεν πολλάκις ευδοκιμούσιν, ου μόνον εχθροίς, αλλά και φίλοις; και ηδόμεθα πασχόντων ετέρων κακώς, και νομίζομεν παραμυθίαν είναι της οικείας συμφοράς τας αλλοτρίας δυσημερίας. Ει γαρ των βιωτικών και παρόντων απέχεσθαι κελευόμεθα, πως ουκ εσμεν άθλιοι και ταλαίπωροι, ταύτα αιτούντες παρά του Θεού, α εκέλευσε και έχοντας εκβάλλειν; ει ουχί των πιστών μόνον, αλλά και των απίστων υπερεύχεσθαι προσταττόμεθα, εννόησον πόσον εστί κακόν, κατεύχεσθαι των αδελφών. Τι ποιείς, άνθρωπε; προσέρχη τον Θεόν ίλεων ποιήσαι, και ετέρου κατεύχη; Εάν μη αφής, ουκ αφεθήσεταί σοι· και ου μόνον αυτός ουκ αφίης, αλλά και τον Θεόν παρακαλείς μη αφείναι; Ει τω μη αφιέντι ουκ αφίεται, τω και τον Δεσπότην παρακαλούντι μη αφιέναι, πως αφεθήσεται; Ει γαρ το έχειν εχθρούς όνειδος, το κατεύχεσθαι αυτών εννόησον ηλίκον κακόν. Δέον γαρ σε απολογήσασθαι δια τι εχθρούς έχεις, συ δε αυτών και κατηγορείς; και ποίας τεύξη συγγνώμης και κακηγορών, και εν καιρώ τοιούτω, ότε ελέους σοι δει πολλού; και γαρ υπέρ οικείων προσήλθες αμαρτημάτων δεόμενος. 63.589 Μη τοίνυν μνημονεύσης των αλλοτρίων, ίνα μη των ιδίων αναμνήσης. Αν γαρ είπης, Παταξον τον εχθρόν, ενέφραξάς σου το στόμα, ουκέτι παρρησίαν έδωκας τη γλώττη· πρώτον μεν, ότι παρώργισας τον δικαστήν εκ προοιμίων ευθέως· δεύτερον, ότι εναντία αιτείς τω σχήματι της ευχής. Ει γαρ υπέρ αφέσεως αμαρτημάτων προσέρχη, πως υπέρ κολάσεως διαλέγη; Τουναντίον μεν ουν έδει ποιείν, και δείσθαι υπέρ αυτών, ίνα και υπέρ εαυτών μετά παρρησίας

παρακαλέσωμεν. Αν γαρ υπέρ αυτών εύξη, καν μηδέν υπέρ των σων είπης, το παν ήνυσας. Ει τοίνυν ουδέν ψυχής αρωμένης μιαρώτερον, ουδέ γλώσσης τοιαύτα φθεγγομένης ακαθαρτότερον, τίνος ένεκεν ου πάντα ποιείς, ώστε μηδέν ειπείν ευχόμενος των παροξυνόντων σου τον Δεσπότην; Άνθρωπος ει, μη ασπίδων ιόν εμέσης· άνθρωπος ει, μη γένη θηρίον. Διά τούτό σοι στόμα γέγονεν, ουχ ίνα δάκνης, αλλ' ίνα θεραπεύης. Αναμνήσθητι τι σοι παρήνεσα, φησίν ο Θεός· συγχωρείν και αφιέναι· συ δε και εμέ παρακαλείς κοινωνόν γενέσθαι της ανατροπής των εμών προσταγμάτων, και εσθίεις τον αδελφόν, και φοινίττεις την γλώτταν, καθάπερ οι μαινόμενοι από των οικείων μελών τους οδόντας. Πως οίει τον διάβολον ήδεσθαι και γελάν, όταν τοιαύτης ευχής ακούση; πως τον Θεόν παροξύνεσθαι και αποστρέφεσθαι και μισείν, όταν τοιαύτα παρακαλής; Εννόησον τίνι προσέρχη κατά των 63.590 εχθρών, άνθρωπε. Μη γαρ άλλω προσέρχη Θεώ; εκείνω προσέρχη τω ειπόντι, Εύχεσθε υπέρ των εχθρών υμών. Πως ουν αυτών καταβοάς; πως παρακαλείς τον Θεόν, τον οικείον λύσαι νόμον; Ουκ εστι τούτο ικέτου σχήμα· ουδείς ικετεύει, ίνα άλλος απόληται, αλλ' ίνα αυτός σωθή. Τι τοίνυν σχήμα μεν ικέτου περίκεισαι, ρήματα δε έχεις κατηγόρου; Και όταν μεν υπέρ εαυτών ευχώμεθα, και κνώμεθα και χασμώμεθα, και εις μυρίους εμπίπτομεν λογισμούς· όταν δε κατ' εχθρών, νήφοντες τούτο ποιούμεν. Επειδή γαρ οίδεν ο διάβολος, ότι καθ' εαυτών το ξίφος ωθούμεν, ου περιέλκει ουδέ περισπά τότε, ίνα μειζόνως ημάς λυμήνηται. Αλλά ηδίκημαι, φης, και θλίβομαι. Ουκούν κατά του διαβόλου εύξαι, του πάντων μάλιστα αδικούντος ημάς· ούτος γαρ τίκτει και τους εχθρούς· αν δε κατ' εχθρών εύξη, την ευχήν ην εκείνος βούλεται, εύχη, ωσπερούν, αν υπέρ εχθρών, κατά τούτου. Ούτος γαρ εστιν ο ακατάλλακτος εχθρός· άνθρωπος δε όσα αν ποιή, φίλος εστί και αδελφός. Τι τοίνυν τον όντως εχθρόν αφείς, τα μέλη δάκνεις τα σα; Ταύτα ουν ειδότες, αγαπητοί, σπουδάσωμεν κατά τας εντολάς του Κυρίου και τα θελήματα αυτού πολιτεύεσθαι, ίνα και της βασιλείας των ουρανών επιτύχωμεν, εν Χριστώ Ιησού τω Κυρίω ημών, ω η δόξα και το κράτος, συν τω Πατρί και τω αγίω Πνεύματι, νυν και αεί, και εις τους αιώνας των αιώνων.

Αμήν.

**Πηγή**: paterikiorthodoxia.com